# Τῌ͂ Κ΄ ΤΟΥ ΜΗΝΟΣ ΣΕΠΤΕΜΒΡΙΟΥ
## † Εὐσταθίου μεγαλομάρτυρος καὶ τῆς συνοδείας αὐτοῦ (†118).
## Ἱλαρίωνος Κρητὸς νεομάρτυρος (†1804).

Ἡ ἀκολουθία ψάλλεται κατὰ τὴν τάξιν τοῦ Μηναίου, εἰς μὲν τὸν ἑσπερινὸν ἄνευ εἰσόδου, εἰς δὲ τὸν ὄρθρον ἄνευ καταβασιῶν καὶ ἄνευ δοξολογίας μεγάλης. Εἰς τὴν λειτουργίαν Ἀπόστολος, Εὐαγγέλιον καὶ κοινωνικὸν τῆς ἡμέρας.

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ὁ ἱερεύς· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Καὶ ἄρχεται ὁ Ἀναγνώστης ἀναγινώσκων τὸν Προοιμιακὸν Ψαλμόν, λέγων οὕτω·

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν τῷ Βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ τῷ Βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ, Χριστῷ τῷ Βασιλεῖ καὶ Θεῷ ἡμῶν.

### Ψαλμὸς ργ΄ (103).

Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον· Κύριε ὁ Θεός μου, ἐμεγαλύνθης σφόδρα. Ἐξομολόγησιν καὶ μεγαλοπρέπειαν ἐνεδύσω, ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον. Ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέῤῥιν, ὁ στεγάζων ἐν ὕδασι τὰ ὑπερῷα αὐτοῦ. Ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ, ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων. Ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα. Ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς, οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ, ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα. Ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται, ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσιν. Ἀναβαίνουσιν ὄρη, καὶ καταβαίνουσι πεδία εἰς τὸν τόπον, ὃν ἐθεμελίωσας αὐτά. Ὅριον ἔθου, ὃ οὐ παρελεύσονται, οὐδὲ ἐπιστρέψουσι καλῦψαι τὴν γῆν. Ὁ ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν, ἀναμέσον τῶν ὀρέων διελεύσονται ὕδατα. Ποτιοῦσι πάντα τὰ θηρία τοῦ ἀγροῦ, προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν. Ἐπ᾽ αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει· ἐκ μέσου τῶν πετρῶν δώσουσι φωνήν. Ποτίζων ὄρη ἐκ τῶν ὑπερῴων αὐτοῦ· ἀπὸ καρποῦ τῶν ἔργων σου χορτασθήσεται ἡ γῆ. Ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων. Τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς, καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου. Τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ· καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει. Χορτασθήσονται τὰ ξύλα τοῦ πεδίου, αἱ κέδροι τοῦ Λιβάνου ἃς ἐφύτευσας. Ἐκεῖ στρουθία

ἐννοσσεύσουσι, τοῦ ἐρωδιοῦ ἡ κατοικία ἡγεῖται αὐτῶν. Ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις, πέτρα καταφυγὴ τοῖς λαγωοῖς. Ἐποίησε σελήνην εἰς καιρούς· ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ. Ἔθου σκότος, καὶ ἐγένετο νύξ· ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ. Σκύμνοι ὠρυόμενοι τοῦ ἁρπάσαι, καὶ ζητῆσαι παρὰ τῷ Θεῷ βρῶσιν αὐτοῖς. Ἀνέτειλεν ὁ ἥλιος, καὶ συνήχθησαν, καὶ εἰς τὰς μάνδρας αὐτῶν κοιτασθήσονται. Ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ, καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας. Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας· ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς σου. Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος· ἐκεῖ ἑρπετά, ὧν οὐκ ἔστιν ἀριθμός, ζῷα μικρὰ μετὰ μεγάλων. Ἐκεῖ πλοῖα διαπορεύονται· δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν αὐτῇ. Πάντα πρὸς σὲ προσδοκῶσι, δοῦναι τὴν τροφὴν αὐτῶν εἰς εὔκαιρον. Δόντος σου αὐτοῖς, συλλέξουσιν. Ἀνοίξαντός σου τὴν χεῖρα, τὰ σύμπαντα πλησθήσονται χρηστότητος· ἀποστρέψαντος δέ σου τὸ πρόσωπον, ταραχθήσονται. Ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν. Ἐξαποστελεῖς τὸ πνεῦμά σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς. Ἤτω ἡ δόξα Κυρίου εἰς τοὺς αἰῶνας· εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ. Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν· ὁ ἁπτόμενος τῶν ὀρέων καὶ καπνίζονται. Ἄσω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω. Ἡδυνθείη αὐτῷ ἡ διαλογή μου, ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ Κυρίῳ. Ἐκλείποιεν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς, καὶ ἄνομοι, ὥστε μὴ ὑπάρχειν αὐτούς. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

Καὶ πάλιν.

Ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ· ἔθου σκότος, καὶ ἐγένετο νύξ. Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας.

Δόξα. Καὶ νῦν.

Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα. Δόξα σοι ὁ Θεός (ἐκ γ΄). Ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα σοι.

Εἶτα, Συναπτὴ μεγάλη ὑπὸ τοῦ Διακόνου,
καὶ ὁ ἱερεὺς τὴν ἐκφώνησιν·

Ὅτι πρέπει σοι πᾶσα δόξα...

* * *

Ἦχος Δι






Ἡ Στιχολογία.




Μ η εκ κλι νης την καρ δι αν μȣ εις λο γȣς πο νη
ρι ι ι ας τȣ προ φα σι ζεσθαι προ φα σεις εν α μαρ
τι ι ι αις
Σ υν αν θρω ποις ερ γα ζο με νοις την α νο μι
ι ι αν και ου μη συν δι α σω με τα των ε κλε
κτων αυ των
Π αι δευ σει με δι και ος εν ε λε ει και ε λεγ ξει
με ε λε ον δε α μαρ τω λȣ μη λι πα να τω την κε
φα λη η ην μȣ
Ο τι ε τι και η προ σευ χη μȣ εν ταις ευ δο κι
αις αυ των κα τε πο θη σαν ε χο με να πε τρας οι κρι
ται αυ των
Α κȣ σον ται τα ρη μα τα μȣ ο τι η δυν θη σαν
ω σει πα χος γης ερ ρα γη ε πι της γης δι ε σκορ πι σθη
τα ο στα αυ των πα ρα τον Α α α δην
Ο τι προς σε Κυ ρι ε Κυ ρι ε οι ο φθαλ μοι


οι οι μȣ ε πι σοι ηλ πι σα μη αν τα νε λης την ψυ
χη ην μȣ
Φ υ λα ξον με α πο πα γι δος ης συ νε στη σαν το
μοι και α πο σκαν δα λων των ερ γα ζο με νων την α
νο μι ι αν
Π ε σȣν ται εν α μφι βλη στρω αυ των οι α μαρ τω
λοι κα τα μο νας ει μι ε γω ε ως αν πα ρε ελ
θω
Φ ω νη μȣ προς Κυ ρι ον ε κε κρα ξα φω νη
μȣ προς Κυ ρι ον ε δε η θην
Ε κ χε ω ε νω πι ον αυ τȣ την δε η σι ι ιν
μȣ την θλι ψιν μȣ ε νω πι ον αυ τȣ α παγ γε λω
Ε ν τω εκ λει πειν ε ξε μȣ το πνευ μα μȣ και συ εγ νως
τας τρι βους μȣ
Ε ν ο δω ταυ τη η ε πο ρευ ο ο ο μην ε
κρυ ψαν πα γι δα μοι


Δι
Κ α τε νο ȣν εις τα δε ξι α και ε πε βλεπον
και ουκ ην ο ε πι γι νωσκων με Δ
Δι
Α πω λε το φυ γη απ ε μȣ και ουκ ε στιν ο
εκ ζη τω ων την ψυ χη η ην μȣ Δ
Δι
Ε κε κρα ξα προς σε Κυ ρι ε ει πα συ ει
η ελ πι ις μȣ με ρις μου ει εν γη ζω ων των Δ
Δι
Π ρο ο σχες προς την δε η σιν μου Δ ο τι ε τα πει
νω θην σφο ο δρα Δ
Δι
Ρ υ σαι με εκ των κα τα δι ω κο ον των με ο τι ε
κρα ται ω θησαν υ περ ε με ε Δ
Δι
Ε ξα γα γε εκ φυ λα κης την ψυ χη η ην
μȣ Δ τȣ ε ξο μο λο γη σασθαι τω ο νο μα τι σȣ Δ
Δι
Ε με υ πο με νου σι δι και οι ε ως ου αν τα
πο δω ω ως μοι Δ
Μ Δι
Ε κ βα θε ων ε κε κρα ξα σοι οι Κυ ρι ε Κυ ρι
ε ει σα κου σον της φω νη ης μȣ Δ

Δι

Γε νη θη τω τα ω τα σϋ προ σε χον τα εις την φω

νην της δε η σε ω ω ως μϋ

Ἱστῶμεν Στίχους ϛ´ καὶ ψάλλομεν

Στιχηρὰ τῆς Ἑορτῆς γ´.

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν. Ἦχος Πα

Στίχ. α´. Ἐὰν ἀνομίας παρατηρήσῃς, Κύριε Κύριε, τίς ὑποστήσεται; ο τι πα ρα σοι ο ι ι λα σμος ε στιν

Ο ο φιν α α νε στη λω σε χαλ κϋν πα λαι Μω ϋ

σης ο θε ο ο πτης προς την α ναι ρε ε σιν των

δακ νον των ο φε ων αυ τος δε ο ο λων σαυ τον ε

πι ξυ λϋ α νυ ψω σας Σω τηρ μϋ ζω ω ω σας παν τας εν

τω θει ω σϋ και ζω η φο ρω Σταυ ρω ος νυ υν α νυ ψϋ

με νος φλε ε γει φα λαγ γας δαι μο νων και τρε πει

των βαρ βα ρων φυ λα και φρυ αγ μα τα

Στίχ. β´. Ἕνεκεν τοῦ ὀνόματός σου ὑπέμεινά σε, Κύριε· ὑπέμεινεν ἡ ψυχή μου εἰς τὸν λόγον σου, ηλ πι σεν η ψυ

χη μϋ ε πι ι τον Κυ ρι ον

Συ υ μϋ το ο φθαρ τον τε και θνη τον Σω τερ εκ




Στίχ. γ΄. Ἀπὸ φυλακῆς πρωΐας μέχρι νυκτός, ἀπὸ φυλακῆς

πρωΐας



## Καὶ τῶν Ἁγίων γ΄.

Ἔδωκας σημείωσιν. Ἦχος Βου

Στίχ. δ΄. Ὅτι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος, καὶ πολλὴ παρ᾽ αὐτῷ λύτρωσις, καὶ αὐτὸς λυτρώσεται τον Ισ ρα ηλ εκ

πα σω ων των α νο μι ων αυ τȣ

Α νω θεν η κλη σις σου ȣκ απ αν θρω πων Ευ στα

θι ε αλλ αυ το ος σοι ο πτα νε ται Χρι στο ος ο

φι λαν θρω πος και α γρευ ει μα α καρ πι στε ως δι

κτυ υ οις και τω βα πτι σμα τι αυ τȣ α πο

κα θα ρας τας α α μαρ τι ας σȣ προς βι ȣ πει ρα στη

ρι ον υ πο μο νην σοι προ τει νε ται ο Δε σπο ο

της και δει κνυ σι νι κη τη ην δι α βο η τον

Στίχ. ε΄. Αἰνεῖτε τὸν Κύριον, πάντα τὰ ἔθνη, ε παι νε σα

τε αυ τον παν τες οι λα οι

Χ αι ρων εν νε ο τη τι της α ρε της το γυ μνα

σι ον υ πε δε ε ξω Ευ στα θι ε των παι αι δων

στε ρȣ με νος και της σης συ ζυ υ γȣ την αιχ μα λω

σι ι αν υ πε νεγ κων καρ τε ρι κως και υ

πο μει νας Θη τει ει αν α τι μον αλ λα σε πα να οι

δι με η εν πο λε μοις αν δρει α σȣ πο θη το ον

κα τε στη σα το και λαμ πρω ως ε πα νη γα γε

Στίχ. ϛ΄. Ὅτι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ ἐφ᾽ ἡμᾶς, καὶ ἡ ἀλήθεια

του Κυ ρι ου με ε νει εις τον αι ω να

Θει ον ως θυ μι α μα δι α πυ ρος ευ ω δε

στα τον και τερ πνο ον ο λο καρ πω μα θυ σι ι α

ευ προσ δεκ τος προ σφο ρα τε ζω ω σα και τε λει ο

τα α τη συ προ ση νεχ θης τω Θε ω παν οι κε

σι α καρ πο ο φο ρȣ με νος δι ο σε η ȣ ρα

νι ος νυν κα τοι κι α Ευ στα θι ε συν τοις σοι οις

ει σε δε ξα το και Α γι ι ων στρα τευ μα τα

Δόξα. Τοῦ Ἁγίου Εὐσταθίου.

Ἐφραὶμ Καρίας.

Ἦχος Δι

Δο ο ο ξα Πα α α τρι ι ι και Υι υι ω και


Α γι ι ω Πνε ε ευ μα τι
Ο Δι δευ τε ρος Ι ωβ Ε ε ευ στα θι ι ος τον
βι ι ι ον τȣς α αθ λȣ ȣς και αι τȣ ȣ ȣς στε φα α
νȣς εις προ τρο πην α α ρε ε των ε αυ το ον η η
μιν προ ο ε ε ε θη η η η κε και αι στη λην καρ
τε ε ρι ι ας υ περ βα α α ας α λη η θω
ω ως τον Ι ωβ τη α ρε τη συν τη συ ζυ
γω ω ω και αι αι τοις τε εκ νοις ο πι στος ε εν
βι ι ω και α κρα δα αν τος ε εν πει ρα α σμοις και
εν α θλη η σει ει νι ι ι κη η φο ο ο ρος ο ον
προ ο σα ξω ω μεν εις πρε σβει ει ει ει αν Χρι ι στω τȣ
δω ρη θη ναι ται αι αις ψυ χαι αι αι αις η η η η
μων φω τι σμον και ι λα σμο ο ον τω ων πλημ με ε
λη μα α α α των
Κ αι νυ υ υ νυ και α α ει και εις τους αι ω νας




* * *

Ἄνευ εἰσόδου· εὐθὺς ὁ προεστὼς ἢ ὁ ἀναγνώστης τὴν ἐπιλύχνιον εὐχαριστίαν χῦμα·

Φῶς ἱλαρὸν ἁγίας δόξης, * ἀθανάτου Πατρός, * οὐρανίου, ἁγίου, μάκαρος, * Ἰησοῦ Χριστέ, * ἐλθόντες ἐπὶ τὴν ἡλίου δύσιν, * ἰδόντες φῶς ἑσπερινόν, * ὑμνοῦμεν Πατέρα, Υἱόν, * καὶ ἅγιον Πνεῦμα, Θεόν. * Ἄξιόν σε ἐν πᾶσι καιροῖς * ὑμνεῖσθαι φωναῖς αἰσίαις, * Υἱὲ Θεοῦ, ζωὴν ὁ διδούς· * διὸ ὁ κόσμος σὲ δοξάζει.

Ὁ ἱερεὺς: Ἑσπέρας, προκείμενον.

## Τῇ Κυριακῇ ἑσπέρας.

Ἦχος Νη

Ι δȣ ȣ δη ευ λο γει ει τε τον Κυ ρι ον

πα αν τες οι δȣ ȣ λοι Κυ ρι ȣ

Στίχ. α΄. Οἱ ἑστῶτες ἐν οἴκῳ Κυρίου, εν αυ λαις οι οι κȣ ȣ

Θε ου η μων

Ι δȣ ȣ δη ευ λο γει ει τε τον Κυ ρι ον

πα αν τες οι δȣ ȣ λοι Κυ ρι ȣ

Στίχ. β΄. Ἐν ταῖς νυξὶν ἐπάρατε τὰς χεῖρας ὑμῶν εἰς τὰ ἅγια

και ευ λο γει τε ε τον Κυ ρι ον

Ι δȣ ȣ δη ευ λο γει ει τε τον Κυ ρι ον

πα αν τες οι δȣ ȣ λοι Κυ ρι ι ȣ ȣ ȣ ȣ

## Τῇ Δευτέρᾳ ἑσπέρας.

Ἦχος Δι

Κ υ υ ρι ος ει σα κȣ σε ται μȣ εν τω

κε κρα γε ε ναι με προς αυ τον

Στίχ. α΄. Ἐν τῷ ἐπικαλεῖσθαι με εἰσήκουσάς μου, ὁ Θεὸς τῆς δικαιοσύνης μου· ἐν θλίψει ἐπλάτυνάς με. Οἰκτείρησόν με και

ει σα κϋσοντηςπροσευ χη ης μϋ

Κυ υ ρι ος ει σα κϋ σε ται μϋ εν τω

κε κρα γε ε ναι με προςαυ τον

Στίχ. β΄. Ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτὸ κοιμηθήσομαι καὶ ὑπνώσω, ὅτι σύ, Κύριε

κα τα μο νας επ ελ πι δι κα τω κι

σα ας με

Κυ υ ρι ος ει σα κϋ σε ται αι μϋ εν τω

κε κρα γε ναιμεπρος αυ το ο ον

## Τῇ Τρίτῃ ἑσπέρας.

### Ἦχος Πα

Το ε λε ος σϋ Κυ ρι ε κα τα δι ω ξει με

πα σαςτας η με ραςτηςζω ης μϋ

Στίχ. α΄. Κύριος ποιμαίνει με καὶ οὐδέν με ὑστερήσει· εἰς τόπον χλόης

ε κει με κα τε σκη νω σεν

Το ε λε ος σϋ Κυ ρι ε κα τα δι ω ξει με

πα σαςτας η με ραςτηςζω ης μϋ

Στίχ. β΄. Ἐὰν γὰρ καὶ πορευθῶ ἐν μέσῳ σκιᾶς θανάτου οὐ φοβηθήσομαι κακά

ο τι συ υ μετ ε μϋ ϋ ϋ ει

Το ε λε ος σȣ Κυ ρι ε κα τα δι ω ξει με

πα σας τας η με ρας της ζω η ης μȣ ȣ ȣ

## Τῇ Τετάρτῃ ἑσπέρας.

Ἦχος Κε

Ο Θε ος εν τω ο νο μα τι σȣ σω σον με

και εν τη δυ να μει σȣ κρι νεις με

Στίχ. α΄. Ὁ Θεὸς εἰσάκουσον τῆς προσευχῆς μου ε νω τι

σαι τα ρη μα τα τȣ στο μα τος μȣ

Ο Θε ος εν τω ο νο μα τι σȣ σω σον με

και εν τη δυ να μει σȣ κρι νεις με

Στίχ. β΄. Ἰδοὺ γὰρ ὁ Θεὸς βοηθεῖ μοι και ο Κυ ρι ος

αν τι λη πτωρ της ψυ χης μȣ

Ο Θε ος εν τω ο νο μα τι σȣ σω σον με

και εν τη δυ να μει σȣ κρι νεις με ε ε ε

## Τῇ Πέμπτῃ ἑσπέρας.

Ἦχος Δι

Η βο η θει α α μȣ πα ρα Κυ ρι ι ι ȣ

τȣ ποι η σαντος τον ȣ ρα νον και την γη ην

Στίχ. α΄. Ἦρα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη ο θεν η ξει

η βο η θει α μȣ

Η βο η θει α α μȣ πα ρα Κυ ρι ι ι ȣ

τȣ ποι η σαντος τον ȣ ρα νον και την γη ην

Στίχ. β΄. Κύριος φυλάξει σε ἀπὸ παντὸς κακοῦ φυ λα ξει

την ψυ χην σȣ ο Κυ ρι ος

Η βο η θει α μȣ πα ρα Κυ ρι ι ȣ Ζ΄ τȣ

ποι η σαν τος τον ȣ ρα νο ον και τη ην γη η

ην

## Τῇ Παρασκευῇ ἑσπέρας.

Ἦχος Γα

Ο Γα Νη Θε ος α ντι λη πτωρ μȣ ει το ε λε

ο ος σȣ προ φθα α σει με

Στίχος α΄. Γα Ε ξε λȣ με εκ των εχ θρων μȣ ο Θε

Νη ος και εκ των ε πα νι στα με νων επ ε με ε λυ




Εὐθὺς μετὰ τὸ προκείμενο ὁ προεστὼς ἢ ὁ ἀναγνώστης τὸ Καταξίωσον.

Ὁ προεστὼς ἢ ὁ ἀναγνώστης·
Καταξίωσον, Κύριε, ἐν τῇ ἑσπέρᾳ ταύτῃ ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.
Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.
Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ᾽ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.
Εὐλογητὸς εἶ, Κύριε· δίδαξόν με τὰ δικαιώματά σου.
Εὐλογητὸς εἶ, Δέσποτα· συνέτισόν με τὰ δικαιώματά σου.
Εὐλογητὸς εἶ, Ἅγιε· φώτισόν με τοῖς δικαιώμασί σου.
Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα· τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς.
Σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ὁ χορός· Ἀμήν.

* * *

## ΤΑ ΠΛΗΡΩΤΙΚΑ

Εἶτα ὁ διάκονος λέγει τὰ Πληρωτικά, ὁ δὲ χορὸς ἀποκρίνεται εἰς μὲν τὰς δύο πρώτας δεήσεις διὰ τοῦ Κύριε, ἐλέησον, εἰς τὰς ἑπομένας ἓξ διὰ τοῦ Παράσχου, Κύριε, εἰς δὲ τὴν τελευταίαν διὰ τοῦ Σοί, Κύριε.

Πληρώσωμεν τὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τὴν ἑσπέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικὰ καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ ἱερεὺς ἐκφώνως·

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ὁ ἱερεὺς εὐλογῶν τὸν λαόν· Εἰρήνη πᾶσι.

Ὁ χορός· Καὶ τῷ πνεύματί σου.

Ὁ διάκονος· Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ χορός· Σοί, Κύριε.

Ὁ ἱερεὺς τὴν εὐχὴν τῆς κεφαλοκλισίας καὶ τὴν ἐκφώνησιν·

Εἴη τὸ κράτος τῆς βασιλείας σου εὐλογημένον καὶ δεδοξασμένον τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

* * *

## Ἀπόστιχα

Τριήμερος ἀνέστης. Ἦχος Δι






Δόξα. Τοῦ Ἁγίου Εὐσταθίου.
Ἐφραὶμ Καρίας.

Ἦχος Πα



νε ε ε ε το αλλ ον η γα πη η σας Θε ε ον

και ον θερ μως ε πε πο ο ο ο θη η η η σας

πα λιν σοι τȣς φιλ τα τȣς ε ε ε δω ρη η η η

σα α α α το συν α θλη τας γε ε νε σθαι σοι προ

μη θευ σα α με ε ε ε νος μεθ ων δι α ποι κι

λω ω ων βα α σα α α νων το μα κα ρι ον τε ε

λο ο ος δι η η νυ υ υ υ σας αυ τȣς και συμ πρε

σβευ τας σȣ λα βο ο ο ο με ε ε ε νος καρ τε

ρο ψυ υ ψε Ε ευ στα α θι ι ι ι ε δυ σω

ω πη η η η σον λυ τρω θη η η η ναι η η μας

των α νο ο μι ω ω ων η η η η μων

Καὶ νῦν. Ὁ αὐτός. Τῆς Ἑορτῆς.
Ἰωάννου Μοναχοῦ.

Και νυ υ υ υν και αι αι α α ει και εις

τȣ ȣ ȣς αι αι ω ω ω νας των αι ω ω ω

νων α α α μην


Σ η με ε ρον προ ερ χε ται ο Στα αυ ρο ο ος
του ου Κυ ρι ι ι ι ου και πι στοι ει εισ δε
χο ο ον ται αι α α αυ το ο ον ε εκ πο ο ο
θου και λαμ βα νου σιν ι α μα τα ψυ χης
τε ε ε και σω ω ω ω ω μα α α α τος και αι
πα α σης μα α λα κι ι ι ι ας αυ το ον α
σπα α σω ω με ε ε ε θα τη χα ρα και τω ω
ω φο ο ο βω ω φο ο ο ο ο ο βω ω δι
α τη ην α α α μα αρ τι ι ι αν ως α α
να α α ξι ι οι ο ο ο ον τες χα ρα α
α δε ε δι α α την σω τη ρι ι ι α αν
ην πα ρε ε ε χει ει τω κο ο ο ο σμω ο εν
αυ τω προ σπα α γεις Χρι στο ος ο ο Κυ υ υ
ρι ι ο ο ο ο ο ο ο ο ο ο ο ο
ος ο ε ε ε χω ων το με ε γα ε ε ε λε ε ε
ε ο ο ο ο ος

Μετὰ τὰ ἀπόστιχα λέγεται ὑπὸ τοῦ προεστῶτος ἢ τοῦ ἱερέως ἡ Ὠδὴ Συμεὼν τοῦ θεοδόχου. (Λουκ. β´ 29-32)

Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου, ἐν εἰρήνῃ· ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν· φῶς εἰς ἀποκάλυψιν ἐθνῶν καὶ δόξαν λαοῦ σου Ἰσραήλ.

Ὁ ἀναγνώστης τὸ τρισάγιον.

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος· ἐλέησον ἡμᾶς. (τρίς)

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παναγία Τριάς, ἐλέησον ἡμᾶς. Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν. Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον (τρίς).

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ὁ ἱερεύς· Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

## Ἀπολυτίκιον.

### Τῶν Μαρτύρων.

Ἦχος Δι






Δόξα. Καὶ νῦν.

Ἀπολυτίκιον τῆς Ἑορτῆς.

Ἦχος Πα




Μετὰ τὰ Ἀπολυτίκια, ἐὰν δὲν ἔγινε Εἴσοδος, ὁ ἱερεὺς τὴν Ἐκτενῆ καὶ τὴν Ἀπόλυσιν.

* * *

## Η ΑΠΟΛΥΣΙΣ

Μετὰ τὰ ἀπολυτίκια, ἐὰν μὲν προηγήθη ἀρτοκλασία·

Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ χορός· Κύριε, ἐλέησον.

Ὁ ἱερεὺς εὐλογῶν τὸν λαόν·

Εὐλογία Κυρίου καὶ ἔλεος ἔλθοι ἐφ’ ὑμᾶς τῇ αὐτοῦ θείᾳ χάριτι καὶ φιλανθρωπίᾳ πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ὁ προεστὼς (ἢ ὁ ἀναγνώστης)·

Στερεῶσαι Κύριος ὁ Θεὸς τὴν ἁγίαν καὶ ἀμώμητον πίστιν τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν σὺν τῇ ἁγίᾳ ἐκκλησίᾳ καὶ τῇ πόλει ταύτῃ εἰς αἰῶνας αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ἐὰν δὲ δὲν προηγήθη ἀρτοκλασία·

Ὁ διάκονος· Σοφία.

Ὁ ἀναγνώστης· Εὐλόγησον.

Ὁ ἱερεύς·

Ὁ ὢν εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ὁ προεστὼς ἢ ὁ ἀναγνώστης·

Στερεώσαι Κύριος ὁ Θεὸς τὴν ἁγίαν καὶ ἀμώμητον πίστιν τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν σὺν τῇ ἁγίᾳ ἐκκλησίᾳ (ἢ μονῇ) ταύτῃ εἰς αἰῶνας αἰώνων.

Ὁ ἱερεύς· Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ὁ ἀναγνώστης· Τὴν τιμιωτέραν τῶν Χερουβὶμ * καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, * τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, * τὴν ὄντως Θεοτόκον, * σὲ μεγαλύνομεν.

Ὁ ἱερεὺς· Δόξα σοι, ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

Ὁ ἀναγνώστης· Δόξα. Καὶ νῦν. Κύριε, ἐλέησον γ΄. Πάτερ ἅγιε, εὐλόγησον.

Ὁ ἱερεύς· Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις της παναχράντου αὐτοῦ μητρός, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ, οὗ τὴν ὕψωσιν ἑορτάζομεν, προστασίαις τῶν τιμίων ἐπουρανίων δυνάμεων ἀσωμάτων, ἱκεσίαις τοῦ τιμίου καὶ ἐνδόξου, προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων, τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων μαρτύρων, τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν, τοῦ ἁγίου (τοῦ ναοῦ), τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, τοῦ ἁγίου (τῆς ἡμέρας), οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων τῶν ἁγίων ἐλεήσαι καὶ σώσαι ἡμᾶς ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Δι᾿ εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, Κύριε Ἰησοῦ, Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς.

Ὁ λαός· Ἀμήν.

* * * * *